Dicon, che regge imper
Anche Minerva chiam
De le guerre Regina:
Venere, imbelle Dea
De' Re, non l'asta m. zi...,
Ma perchè mai senza ragion pa ...
Come se asta veloce avessi, io p..to
De l'asta in vece un cingolo vez..oso,
Vincolo de gli Amori, al par del mele
Dolce, e con forza pungo, e l'arco innalzo:
Cingol, per cui de l'Amor mio provando
L'estro, senton di spesso acerbe doglie,
Ma non per questo muojono le Donne.
Così parlava, il suo cammin seguendo,
La Dea Ciprigna da le rosee dita;
E i compagni Amoretti udendo intanto
I cari cenni de la Madre, anch' essi
Confermavan suoi detti. E già Mercurio
Era del monte Ideo salito in cima,
Mentre pasceva la paterna greggia
Paride giovanetto, e la pasceva
Divisamente presso al fiume Anauro;
Quivi la mandra de gli agresti Tori,
Quivi le truppe de l'ingorde agnelle.
A gli omeri di lui la pelle stava
Pendendo giù d'una montana capra,
Ed avea presso il pungolo, che muove
Al corso i Buoi. Così del flauto al suono
Lento i passi movendo, ei ne le canne
Formava un dolce rustical concento.

E spesso ancor ne' solit[illegible]
Vago sol di cantar, cu[illegible] m[illegible]
De' tori, e de le agnelle; [illegible]na
Il flauto, come è de' Pa[illegible]r [illegible]
A Pane, ed a Mercurio ami[illegible]
Cantava: e allora non latravan cani,
E Toro non muggía. Ma l'Eco sola,
Piena di vento, e nel parlare indotta,
D'organi priva da l'Idee montag[illegible]e
Suono rendeva. E saziati i Tori
Poi con la cima de la verde erbetta
Stando inchinati su le pingui cosce
Prendean riposo, allorchè sotto a l'ombra
De l'alte piante il Pastorel cantando
Da lungi vide il Messaggier de' Numi
Mercurio, e pieno di timor levossi,
Che non soffriva de le Dee l'aspetto.
E d'un albero appiè le ben sonanti
Dolci canne lasciando, il canto ruppe
Non stanco ancora. Il Dio Mercurio intanto
Al timoroso in guisa tal parlava.
Posto in bando il timor, posta in non cale
La bella greggia a proferir quà vieni
Il tuo parer su le celesti Dee.
Vieni di loro a giudicar qual abbia
Maggior bellezza in volto, e a la più vaga
Porgerai questo pomo, amabil germe.
Tanto egli disse, e Paride fissando
L'occhio vezzoso, a divisar s'accinse
Placidamente la Beltà d'ognuna.
Mirava lo splendor de gli occhi azzurri,

Mirava il collo , e riguar...
Gli ornamenti , che d'oro o...
Fin del calcagno , e de le p...
Le figure osservò . Quindi M...
Preso per man , pria che 'l g... ...usse ,
Il giojoso Alessandro , a lui diceva :
Vien quà , figliuol di Priamo , lasciando
La Consorte di Giove , e non curata
Venere , che de' talami è regina ,
Loda Minerva , che ha in poter la forza .
Sento , che impero hai tu , che tu difendi
La Trojana Città : vien quà , farotti
Io de gli uomini afflitti Protettore ;
Perchè Bellona in avvenir non mai
Grave di sdegno amareggiar ti possa .
Ubbidiscimi dunque , e ad esser forte
Insegnerotti , e de la guerra l'arte .
Sì favellò la saggia Dea d'Atene ,
Nè avea finito ancor , quando a lui disse
Così Giunone da le bianche braccia .
Se me più bella giudicando , il frutto
Tu mi vuoi dare , io ti farò di tutta
L'Asia nostra Signore : Ah non far conto
De le belliche cose . A che mai queste
Giovano ad un , ch' è di Città Rettore ?
Un, ch' è Signor, comanda ai forti, e ai vili:
E non sempre fan poi leggiadre imprese
Di Minerva i seguaci ; anzi più presto
Muojon color , che servono a Bellona .
Tal Signoria Giunon gli offerse , quella ,
Che ha 'l primo Trono . Ma la Dea Ciprigna

Snu-

Snudando a l'aria la pieg.
Il seno alzò, nè già rossor l.,
E de gli Amori il cingolo slacc...
Dolce qual mel, tutto snudossi il p.,
Nè le poppe obbliò. Quindi ridendo
In simil guisa al Pastorel parlava.
Prendi, e in obblio manda le guerre, prendi
La beltà nostra, e non curar gli scettri,
Nè la terra de l'Asia. Io de la guerra
L'opre non so: Poichè qual vopo ha mai
Venere de gli scudi? Hanno assai pregio
Ne lo splendor de la beltà le Donne
Più, che ne l'armi. De la forza in vece
Io ben darotti un amorosa moglie,
E in vece de l'impero, ai letti sopra
Andrai d'Elena bella. In guisa tale
Sposo ti mirerà Sparta con Troja.
Finito di parlar non ebbe ancora,
Ch'ei lo splendido pomo a Vener diede,
Dono de la Beltà, gran Ben, ma insieme
D'una gran guerra origine, e semente.
E Venere tenendo in man quel pomo
Alzò la voce, ed a schernir Giunone
Prese, e con essa Pallade guerriera.
Compagne ne la gara a me cedete,
Cedete la vittoria: Io la Bellezza
Ho amato, e la Bellezza or m'accompagna.
Dicon pure, o Giunon madre di Marte,
Che de le Grazie, che han la bella chioma,
Con doglie hai partorito il sacro coro.
Com' è, ch' oggi da tutte abbandonata
Fosti,

Fosti , e in ajuto non trovasti al.
O Giunon de gli scudi alta Regi
Marte non t' ajutò , sebben con l' ast
Marte fa stranie cose ; e ancorchè ..adre
Di Vulcano tu sia , non ti giovaro
Le vive fiamme , ch' ei produce ognora .
Ma qual superbia ha mai quella di vento
Piena Minerva , cui le nozze vita
Non dier , nè partorìo Madre veruna .
Non generata , dal paterno capo
D' un ferro il taglio te produsse , e avesti
La radice da un ferro . Oh come il corpo
Tu con vesti di bronzo hai ricoperto ?
Come fuggi l' Amor ? L' opre di Marte
Come tu siegui ? A te concordia è ignota,
Tu di nozze non sai : Ma non sai pure
Minerva , che più fiacche , e imbelli sono
Queste tue pari , e di color , che tanto
Son gloriose ne le illustri guerre ,
Se s' hanno quindi a giudicar le membra ,
Uomini non appajono , nè Donne .
Con tai rampogne Venere a Minerva
Parlava , e tale ebbe di sua Beltade
Premio poi tanto a le Città dannoso ,
Giunon scacciando , e Pallade dolente .
Ma Paride infelice arso d'amore
Dietro un' ignota Donna , entro una densa
Selva periti artefici condusse
E caddero le quercie ivi recise
Per consiglio di Fereclo , che autore
Fu d' ogni mal , che lusingando il folle

Rege

Νῆας [illegible] ῷ δρυτόμῳ πεπτήνατο χαλκῷ.
Ἀντί μ[illegible] ν ὀρέων ἠλλάξατο πόντον,
Καί λεχ[illegible] ἐπίκουρον ἐρεσσομένην Ἀφροδίτην
Πολλάκις ἀκταίοισιν ἱλασκόμενος θυέεσσιν,
Ἔπλεεν Ἑλλήσποντον ἐπ' εὐρέα νῶτα τιθήνης. 200
Τῷ δ' πολυτλήτων σημήϊα φαίνετο μόχθων·
Κυανέη μὲν ὕπερθεν ἀναθρώσκουσα θάλασσα
Οὐρανὸν ὀρφναίῳ ἑλικῶν ἐζώσατο δεσμῷ·
Ἠ δ' ἄρα μυχθαλόεντος ἐπ' ἠέρος ὄμβρον ἀνῆσα,
Ἐκλύσθη δέ τε πόντος ἐρεσσομένων ἐρετάων, 205
Τόφρα καὶ Δαρδάνιον καὶ Τρώϊον οὖδας ἀμείψας
Ἰσμαρίδος μεθέηκε παραπλώων στόμα λίμνης.
Αἶψα δ' Θρηϊκίοιο μετάρσια Παγγαίοιο,
Φυλλίδος ἀντέλλοντα φιλήνορος ἔδρακε τύμβον,
Καί δρόμον ἐννεάκυκλον ἀλήμονος ἄδε κελεύθου· 210
Ἔνθα διαστίχουσα κινύρατο Φυλλὶς ἀκοίτην,
Ἀχνυμένη παλίνοστον ἀπήμονα Δημοφόωντα,
Ὁππότε νοστήσειεν Ἀθηναίης ἀπὸ δήμων.
Τῷ δ' βαθυκλήροιο διὰ χθονὸς Αἱμονιήων
Ἐξαπίνης ἀνέτελλεν Ἀχαιΐδος ἄστεα γαίης, 215
Φθίη βωτιάνειρα καὶ εὐρυάγυια Μυκήνη.
Ἔνθεν ἀνερχομένοιο παρ' ἀαμένας Ἐρυμάνθου,
Σπάρτην καλλιγύναικα, φίλην πόλιν Ἀτρείωνος

Κε-

V.201. πολυτλήτων. Not. ὑπομνηντικῶν.
V.202. μόχθων. Not. παλαιπώρων.
V.206. τόφρα καὶ. M. τόφρα δέ.
V.210. καὶ δρόμον. M. εὔδρομον.
V.215. ἀνέτελλεν. M. ἀνέτειλεν.
ἄστεα. M. ἄνθεα.

Rege Aleſſandro, con l' acuto ferro
Fabbricò navi, in cui col mar cangiando
I monti d' Ida, e Venere ſua ſcorta
Preſide de le Nozze ognor più amica
Rendendo a ſe co' ſagrifizj ſpeſſi,
Che fea ſul lido, l' Elleſponto preſe
Su l' ampio a navigar dorſo del mare.
Ma comparvero a lui ſegni frattanto
Di ben grandi ſciagure. Il mar gonfiato
Cinſe d' oſcuro vel de l' orſe il Cielo:
E ne l' aria nemboſa inſorta pioggia
Crebbe ſul mare: onde battendo i remi,
E 'l Dardanio cangiando, ed il Trojano
Paeſe allor, traſcorſe navigando
La bocca de l' Iſmarica palude:
E paſsò quindi del Pangeo di Tracia
Le cime, e vide la naſcente tomba
Di Fillide infelice, arſa d' amore.
E vide il corſo ancor, che ha nove giri,
De la fallace via, dove piangeva
Fillide paſſeggiando il ſuo marito,
Mentre aſpettava con dolor, che illeſo
Ritornaſſe dal popolo d' Atene
Demofoonte. Or mentre gia ſcorrendo
L' ampia Teſſaglia, a lui ſi fean davanti
D' Acaja le Città, Ftia populoſa,
E poi Micene da le larghe ſtrade.
Di quì paſſando a' prati, a cui d' appreſſo
Comincia l' Erimanto, inteſe poi,
Che a riva de l' Eurota eravi Sparta
Ricca di belle Donne, e Città cara

Al

Κεκλιμένην ἐνένισε παρ' Εὐρώταο ῥεέθροις.
Ἄγχι δὲ ναιομένην ὑπὸ δάσκιον ὄρεος ὕλην 220
Γείτονα πα[illegible]ων, ἐρατὴν θηεῖτο Θεράπνην.
Οὔπω κεῖθεν ἔην δολιχὸς πλόος, οὐδὲ γαλήνης
Δηρὸν ἐρεσσομένων ἠκούετο δοῦπος ἐρετμῶν.
Καὶ χθονὸς ἐν κόλποισιν ἐπ' ἠϊόνεσσι βαλόντες
Πείσματα νηὸς ἔδησαν, ὅσοις νεὸς ἔργα μέμηλεν. 225
Αὐτὰρ ὁ, χιονέοιο λοεσσάμενος ποταμοῖο,
Ὤχετο φειδομένοισιν ἐπ' ἴχνεσιν ἴχνος ἐρείσας,
Μὴ πόδες ἱμερόεντες ὑποχραίνοιντο κονίης,
Μὴ πλοκάμων κωέηθεν ἐπιβρίσαντες ἔθειραι
Ὀξύτερον σπεύδοντος ἐπαντιπέλοιεν ἀήταις. 230
Ἄρτι μὲν αἰπύδμητα φιλοξείνων ναετήρων
Δώματα παπταίνων ϗ γείτονας ἐγγύθινη οὕς,
Ἄστεος ἀγλαΐην διεμέτρεεν· ἔνθα μὲν αὐτῆς
Χρύσεον ἐνδαπίης θηεύμενος εἶδος Ἀθήνης,
Ἔνθα δὲ Καρνείοιο παραγνάμψας Ὑακίνθου. 235
Ὃν ποτε κουρίζοντα σὺν Ἀπόλλωνι νοήσας
Δῆμος Ἀμυκλαίων, ἠγάσσατο μὴ Διὶ Λητὼ
Σπυζομένη ϗ τοῦτον ἀνήγαγεν· αὐτὰρ Ἀπόλλων
Οὐκ ἐδάη Ζεφύρῳ ζηλήμονα παῖδα φυλάσσων·
Γαῖα δὲ δακρύσαντι χαριζομένη βασιλῆϊ, 240
Ἄνθος ἀνηνεέξησε παραίφασιν Ἀπόλλωνι,

Ἄνθος.

v.228. ὑποχραίνοιντο. M. ὑπαχράντοιο.
v.230. ἐπαντιπέλοιεν. M. ἐπαντπέλλοιεν.
v.239. In qualche edizione ζηλήμονι. Il MS. ha ζηλήμονα.

Al figliuolo d'Atreo. Mirò vicina
Pien di ſtupor l'amabile Terapnà
Del monte ſtar ſotto l'ombroſa ſelva.
Nè v'era quindi a navigar gran tratto,
Nè molto ancor per lo ſeren s'udía
Lo ſtrepito de' remi: e già nel ſeno
De la terra i nocchier gittando funi,
Legar la nave al deſiato lido.
Paride allor lavandoſi con pura
Acqua, fea come timoroſi i paſſi,
Perchè non foſſer i vezzoſi piedi
Di polvere imbrattati, e perchè ſoffio
D'avra, mentr' ei più frettoloſo giſſe,
Non ſcomponeſſe a lui la ſparſa chioma,
Che dal cappel fuor eſce: e riguardando
De' Cittadin, cui gli Oſpiti ſon cari,
L'eccelſe Caſe, ed i vicini Templi,
A lo ſplendor de la Città fea mente:
Ivi ammirava il ſimulacro d'oro
Di Pallade la Dea, che Sparta adora:
E gli occhi altrove rivolgendo, vide
Anche la ſtatua di Carneo Giacinto,
Di cui ſapendo il popolo Amicleo,
Che giovinetto era l'amor d'Apollo,
Temeva, che sdegnataſi di Giove
La Dea Latona, anche coſtui rapiſſe.
Ma non conobbe Apollo eſſer lo ſteſſo
Caro a Zefiro ancor, mentre 'l guardava.
E la Terra per far piacere al Rege
Apollo, che piangeva, un fior produſſe,
Fior d'Apollin conforto, e de lo ſteſſo

Α'νθος ἀριζήλοιο φερώνυμον ἠβητῆρος.
Η'δη δ' ἄγχι δόμοισιν ἐπ' Α'τρείδαο μελάθροις
Γ'ςατο, θεσπεσίῃσιν ἀγαλλόμενος χαρίτεσσιν.
Ου' Διὶ τοῖον ἔτικτεν ἐπήρατον υἷα Θυώνη. 245
Ι'λήκοις Διόνυσε, καὶ εἰ Διός ἐσσι γενέθλης·
Καλὸς ἔην κάλλευς ἐπ' ἀγλαΐῃσι προσώπου.
Η' δὲ φιλοξείνων θαλάμων κληῖδας ἀνάσσα
Ε'ξαπίνης Ε'λένη μετεκίαθε δώματος αὐλὴν·
Καὶ θαλερῶν προπάροιθεν ἐποπτεύουσα θυράων, 250
Ω'ς ἴδεν, ὡς ἐνόησε, καὶ ἐς μυχὸν ἤγαγεν αὐλῆς·
Καί μιν ἐφεδρήσσειν νεοπηγέος ὑψόθεν ἕδρης
Α'ργυρέης ἐπέτελλε· κόρον δ' οὐκ εἶχεν ὀπωπῆς.
Α'λλ' ὅτε δὴ χρύσειον οἴσσαμένη Κυθερείης
Κοῦρον ὀπιπτεύεσκε θαλαμηπόλον, ὀψὲ δ' ἀνέγνω 255
Ω'ς οὐκ ἔςιν Ε'ρως, βελέων δ' οὐκ εἶχε φαρέτρην.
Πολλάκι δ' ἀγλαΐῃσιν εὐγλήνοιο προσώπου
Παπταίνειν ἐδόκευε τὸν ἡμερίδων βασιλῆα·
Ο'ψὲ δὲ θαμβήσασα πόσιν ἀνενείκατο φωνήν,
Ξεῖνε πόθεν τελέθεις; ἐρατὸν γένος εἰπέ τε πάτρην, 260
Α'γλαΐην μὲν ἔοικας ἀριζήλῳ βασιλῆϊ,
Α'λλὰ τεὴν οὐκ οἶδα παρ' Α'ργείοισι γενέθλην.
Οὐ Πύλον ἠμαθόεσσαν ἔχεις Νηλήϊον οὖδας
Α'ντίλοχον δεδάηκα, τεὴν οὐκ εἶδον ὀπωπήν.
Ου' Φθίην χαρίεσσαν, ἀριςήων τροφὸν ἀνδρῶν· 265

Οἶδα

v.250. ἐποπτεύουσα. M. ὀπιπτεύουσα.
v.256. εἶχε. M. εἶδε.
v.260. τε πάτρην. M. καὶ ἡμῖν.

Nome , che aveva il giovinetto illustre .
Ma già di Menelao Paride stava
Presso a l' eccelsa Casa , e in lui divina
Grazia brillava : nè sì amabil figlio
Già partorito avea Semele a Giove :
Perdona, o Bacco , che hai per Padre Giove .
Poi ch' era al sommo ancor Paride bello
Ne lo splendor del volto . Elena allora
Le stanze aprendo con la chiave , amiche
A gli Ospiti , passò poi per la sala ;
E lui mirando , che a le ornate porte
Si stava , come il vide , ed osservollo ,
Nel gabinetto lo condusse ancora ;
E lo fece seder su nuovo scanno
D' argento , nè in guardarlo era mai sazia ;
Ma sebben di mirar credea da prima
L' avreo figlio di Venere , il Ministro
Del letto nuzial ; conobbe al fine ,
Che Amor non era , non avendo accanto
La faretra de' dardi . Anche talvolta
Pensava di veder ne la splendente
Serena faccia de le viti il Rege ,
Ma poi stordita alzò la voce , e disse :
Forestier , donde sei ? Dimmi la Patria
E l' amabile stirpe . Un Re tu sembri
D' invidia degno a lo splendor del volto :
Ma presso a' Greci io non conobbi certo
La stirpe tua . Ne l' arenosa Pilo ,
Ch' è 'l terren di Neleo , tu non dimori ,
Poi che Antiloco io vidi , e te non mai .
Patria non t' è la graziosa Ftia ,

D 2 *D'Eroi*

Οἶδα περικλήϊστον ὅλον γένος Αἰακιδάων·
Ἀγλαΐην Πηλῆος, ἐϋκλείην Τελαμῶνος,
Ἤθεα Πατρόκλοιο, καὶ ἠνορέην Ἀχιλῆος.

Τοῖα πόθῳ ποθέουσα λιγύθροος ἔννεπε νύμφη·
Αὐτὰρ ὁ μειλιχίην ἠμείβετο γῆρυν ἀνοίξας, 270

Εἴ τινά που Φρυγίης ἐνὶ πέρμασι γαῖαν ἀκούεις,
Ἴλιον, ἣν πύργωσε Ποσειδάων καὶ Ἀπόλλων·
Εἴ τινά που πολύολβον ἐνὶ Τροίῃ βασιλῆα
Ἔκλυες εὐωδῖνος ὑπὸ Κρονίδαο γενέθλης·
Ἔνθεν ἀριστεύων, ἐμφύλια πάντα διώκω. 275
Εἰμί, γύναι, Πριάμοιο πολυχρύσου φίλος υἱός.
Εἰμὶ δὲ Δαρδανίδης· ὁ δὲ Δάρδανος ἐκ Διὸς ἦεν·
Ἔνθεν ἀπ᾽ οὐλύμποιο θεοὶ ξεινήονες ἀνδρῶν
Πολλάκι θητεύουσι καὶ ἀθάνατοί περ ἐόντες.
Ὧν ὁ μὲν ἡμετέρης δωμήσατο τείχεα πάτρης, 280
Τείχεα μὴ πίπτοντα, Ποσειδάων καὶ Ἀπόλλων.
Αὐτὰρ ἐγώ, βασίλεια, δικασπόλος εἰμὶ θεάων.
Καὶ γὰρ ἀκηχεμένῃσιν ἐπ᾽ οὐρανίῃσι δικάζων,
Κύπριδος ἀγλαΐην καὶ ἐπήρατον ᾔνεσα μορφήν·
Ἡ δὲ περικλήϊστον, ἐμῶν ἀντάξιον ἔργων, 285
Νύμφην ἱμερόεσσαν ἐμοὶ κατένευσεν ὀπάσσαι,
Ἣν Ἑλένην ἐνέπουσι, κασιγνήτην Ἀφροδίτης·
Ἧς ἕνεκεν τέτληκα καὶ οἴδματα πόντα περῆσαι.
Δεῦρο γάμον κεράσωμεν· ἐπεὶ Κυθέρεια κελεύει.

Μή

V.270. μειλιχίην. Not. γλυκυτάτην.
ἠμείβετο. Not. ἀνταπεκρίνετο.
γῆρυν; Not. φωνήν.
V.271. πέρμασι. M. πείρασι.

D' Eroi nutrice , poi che tutta io vidi
La razza de gli Eacidi onorata ;
L' illuſtre Peleo , Telamon famoſo ,
Patroclo coſtumato , e 'l forte Achille .
Così a lui diſſe l' anſioſa Donna ,
A cui piacevolmente egli riſpoſe .
Hai tu ſentito nei confin di Frigia
D'una terra parlar , che chiaman Ilio ,
Che di mura arricchir Nettuno , e Apollo ?
Sentito hai tu d' un Rè felice in Troja ,
Che da la ſtirpe fortunata ſcende
Del figliuol di Saturno ? Io quindi nato
La mia paterna ſchiatta in me dimoſtro
Col retto oprar . Figlio ben caro , o Donna ,
Di Priamo ſon io , che d' oro abbonda ;
Io da Dardano vengo , ed ei da Giove .
E poichè giù dal Ciel ſcendendo i Numi
Ad albergar con gli uomini , talvolta
Servono lor , benchè immortali ſono ;
Nettuno , e Apollo ne la Patria noſtra
Fabbricar mura eterne . Io poi , Regina ,
Giudice ſon di Dee ; giacchè formando
Di lor ſentenza , io con dolor de l' altre
Lo ſplendore di Venere antepoſi ,
E l' amabil bellezza . Ed Ella poi ,
Per alto guiderdon de l' opra mia ,
Adorabile Spoſa a me promiſe
Una Sorella ſua , ch' Elena ha nome :
Per cui ſol di paſſar già tanti mari
Sofferſi . Orsù , quì celebriam le nozze :
Citerea lo comanda . Oh Dio ! Non farmi

 Tu

Μή με καταισχύνειας, ἐμὴν ϗ Κύπριν ἐλέγξῃς, 290
Οὐκ ἐρέω· τί δὲ πόσσον ἐπισταμένην σε διδάξω;
Οἶδα γὰρ ὡς Μενέλαος ἀναλκιδός ἐστι γενέθλης.
Οὐ τοῖαι γεγάασιν ἐν Ἀργείοισι γυναῖκες·
Καὶ γὰρ ἀχιδνοτέροισιν ἀεξόμεναι μελέεσσιν,
Ἀνδρῶν εἶδος ἔχουσι· νόθοι δ' ἐγένοντο γυναῖκες. 295

Ἔννεπεν. ἡ δ' ἐρόεσσαν ἐπὶ χθονὶ πῆξεν ὀπωπὴν,
Δηρὸν ἀμηχανέουσα, ϗ οὐκ ἠμείβετο νύμφη.
Ὀψὲ δὲ θαμβήσασα πόσιν ἀνενείκατο φωνὴν,

Ἀτρεκέως ὦ ξεῖνε τεῆς ποτε τείχεα πάτρης,
Τὰ πρὶν ἐδωμήσαντο Ποσειδάων ϗ Ἀπόλλων, 300
Ἤθελον ἀθανάτων δαιδάλματα κεῖνα νοῆσαι,
Καὶ νομὸν οἰοπόλοιο λιγύπνοον Ἀπόλλωνος,
Ἔνθα θεοῦ μήλοισι παρὰ προβολῇσι πυλάων
Πολλάκις εἰλιπόδεσσιν ἐφέσπετο βουσὶν Ἀπόλλων.
Ἄγρεο νῦν Σπάρτηθεν ἐπὶ Τροίην με κομίζων· 305
Ἕψομαι ὡς Κυθέρεια γάμον βασίλεια κελεύει.
Οὐ τρομέω Μενέλαον, ὅτ' ἐν Τροίῃ με νοήσῃ.

Τοίην συνθεσίην καλλίσφυρος ἔννεπε νύμφη.
Νὺξ δὲ πόνων ἄμπαυμα μετ' ἠελίοιο κελεύθους
Ὕπνον ἐλαφρίζουσα, μετήορον ἤπασεν ἠὼς 310
Ἀρχομένη· δοιὰς δὲ πύλας ὤϊξεν ὀνείρων,

Τὴν

V.303. προβολῇσι. M. προμαχῇσι.
V.305. Ἄγρεο. M. Ἔγρεο.
V.311. Ἀρχομένη. M. Ἐρχομένη.

Tu queſt' ingiuria , e non biaſmar mie nozze.
Non parlo più : poichè 'l parlar , che giova
Più lungamente a te , che tutto ſai ?
E tu ſai pur , che d'una razza imbelle
E' Menelao , nè v'è tra Greci alcuna
Donna qual tu : poichè creſcendo l'altre
Con più debili membra, han d'uomin forma ,
Onde Donne legittime non ſono .
Così diſſe ; e fiſsò l'amabil faccia ,
Per lungo tempo dubitando , a terra ,
Nè riſpondea la Ninfa : alfine poi
Così ſtordita alzò la voce , e diſſe :
O Foreſtier , de la tua Patria certo
Io volli un giorno contemplar le mura ,
Quelle grandi opre de gli eterni Dii ,
Che un tempo fabbricar Nettuno , e Apollo .
Volli veder que' paſcoli odoroſi
Del ſolitario Apollo , ove ſovente
Egli ſeguiva i curvi buoi ne' piedi
Preſſo a' ripari de le Porte alzati
Per ſuo conſiglio . Or ſe da Sparta a Troja
Mi vuoi condur , ti ſeguirò , ſiccome
Vuol de le Nozze Citerea Regina .
Ed io non temo Menelao , quand' egli
Intenda poi , ch' io ſon venuto a Troja .
Tal feo patto con lui la bella Ninfa .
Ma la notte , riſtor de le fatiche ,
Del Sol dopo i viaggi ſuſcitando
Il ſonno , più rendevalo leggieri
Su l'ormai giunta Aurora ; e le due porte
De' ſogni al Mondo ſpalancava ; l'una

 Di

Τὴν μὲν ἀληθείης κεράων ἀπελάμπετο κόσμῳ,
Ἔνθεν ἀναθρώσκουσι θεῶν νημερτέες ὀμφαί.
Τὴν δὲ, δολοφροσύνης, κενεῶν θρέπτειραν ὀνείρων.
Αὐτὰρ ὁ ποντοπόρων Ἑλένην ἐπὶ σέλμασι νηῶν 315
Ἐκ θαλάμων ἐκόμισσε φιλοξείνων Μενελάου,
Κυδιόων ὑπέροπλον ὑποσχετίν Κυθερείης,
Φέρτον ἄγων ἔσπευδεν ἐς Ἴλιον ἰωχμοῖο.
Ἑρμιόνη δ' ἀνέμοισιν ἀποῤῥίψασα καλύπτρην,
Ἰσαμένης πολύδακρυς ἀνέστενεν ἠριγενείης. 320
Πολλάκι δ' ἀμφιπόλους θαλάμων ἔκτοθε λαβοῦσα,
Ὀξύτατον βοάουσα, τόσην ἀνενείκατο φωνήν,

Παῖδες, πῆ μελιποῦσα πολύστονος ᾤχετο μήτηρ;
Ἢ χθιζόν σὺν ἐμοὶ θαλάμων κληΐδας ἑλοῦσα,
Ἔδραθεν ὑπνώουσα, καὶ ἐς μίαν ἤλυθεν εὐνήν; 325

Ἔννεπε δακρυχέουσα· συνωδύροντο δὲ παῖδες.
Ἀχόμεναι δ' ἑκάπερθεν ἐπὶ προθύροισιν ἐρύκειν
Ἑρμιόνην στενάχουσαν ἐπαρήσαντο γυναῖκες·

Τέκνον, ὀδυρομένη γόον εὔνασον. ᾤχετο μήτηρ·
Νοστήσει παλίνορσος, ἐπεὶ κλαίουσαν οἶσα. 330
Οὐχ ὁράας; γοεραὶ μὲν ὑπημύουσι παρειαί,
Πυκνὰ δὲ μυρομένης θαλεραὶ μινύθουσιν ὀπωπαί,
Ἢ τάχα νυμφάων ἐς ὁμήγυριν ἀγρομενάων

Ἤλυ-

v.312. Τὴν. M. Τῇ.
In alcuna edizione περάων. M. κεράων.

Di corni fatta ; ed è del ver la porta ,
Ond' escon de gli Dii le vere voci :
E l'altra , che la porta è de l'inganno ,
E che de' sogni inutili è Nutrice .
Paride allor su le marine navi
Elena trasportò da gli ospitali
Letti di Menelao , superbo al sommo
Per le promesse de la Dea Ciprigna ,
E gia di fretta d'una guerra il peso
Ad Ilio conducendo . Ermione intanto ,
Gittando a' venti il vel , forte piangeva
Al nascer de l'Aurora : onde prendendo
Spesso le ancelle sue fuori de' letti
Con grida acute alzò la voce , e disse :
Donzelle , ov'è , che la mia Madre andossi,
Me qui tra molte lagrime lasciando ?
Jeri insieme con me prese le chiavi
Del talamo , e a dormir meco sen venne
Giacendo in un sol letto , e prese sonno .
Così disse piangendo , e le raccolte
Figlie piangendo anch' esse in ogni canto
De le porte a l'ingresso ivan tentando
Di confortare Ermione dolente .
Datti pace , dicean , Figlia , e non piangi :
La Madre sen andò , ma fia , che torni
Tosto che inteso avrà , che tu sospiri .
Non vedi , che s'inchinano già fiacche
Le guancie ? poich' è ver , che si dimagra
La faccia di colui , che troppo piange .
O ch' ella andò , la retta via smarrendo ,
Ad un Coro di Vergini raccolte ,

E vi

Ἤλυθεν, ἰθάης δὲ παραπλάζουσα κελεύθου,
Ἵσταται ἀχαλόωσα, καὶ εἰς λειμῶνα μολοῦσα 335
Ὡραίων, δροσόεντος ὑπὲρ πεδίοιο θαάσσει.
Ἢ χρόα πατρῴοιο λοεσσαμένη ποταμοῖο
Ὤχετο, καὶ δήθυνεν Εὐρώταο παρ' ὄχθαις.

Τοῖα δὲ δακρύσασα πολύστονος ἔννεπε κούρη,
Οἶδεν ὄρος, ποταμῶν εἰδάη ῥόον, οἶδε κελεύθους 340
Ἐς ῥόδον ἐς λειμῶνα· τί με φθέγξασθε γυναῖκες;
Ἀστέρες ὑπνώουσι, καὶ ἐν σκοπέλοισιν ἰαύει·
Ἀστέρες ἀντέλλουσι, καὶ οὐ παλίνορσος ἱκάνει·
Μῆτερ ἐμὴ τίνα χῶρον ἔχεις; τίνα δ' οὔρεα ναίεις;
Πλαζομένην θῆρές σε κατέκτανον; ἀλλὰ καὶ αὐτοὶ 345
Θῆρες ἀριζήλοιο Διὸς τρομέουσι γενέθλην.
Ἤριπες ἐξ ὀρέων χθαμαλῆς ἐπὶ νῶτα κονίης,
Σὸν δέμας οἰοπόλοισιν ἐνὶ δρυμοῖσι λιποῦσα;
Ἀλλὰ πολυπρέμνων ξυλόχων ὑπὸ δάσκιον ὕλην
Δένδρεα παπτήνασα καὶ αὐτῶν ἄχρι πετήλων, 350
Σὸν δέμας οὐκ ἐνόησα· καὶ οὐ νεμεσίζομεν ὕλην.
Μὴ δ' ἱερῶν γονόεντος ἐπ' Εὐρώταο ῥεέθρων
Νηχομένην ἐκάλυψεν ὑποβρυχίην σε γαλήνη;
Ἀλλὰ καὶ ἐν ποταμοῖσι καὶ ἐν πελάγεσσι θαλάσσης
Νηϊάδες ζώουσι, καὶ οὐ κτείνουσι γυναῖκας. 355

Ὣς ἡ μὲν στενάχεσκεν. ἀνακλίνασα δὲ δειρὴν
Ὕπνωσ', ἐπεὶ θανάτοιο συνέμπορος. ἡ γὰρ ἐτύχθη
Ἄμφω, ἀναγκαίη, ξυνήϊα πάντα λαχόντα,

Ἔργα

V.351. νεμεσίζομεν. M. νεμεσίζομαι.
V.357. ἐπεὶ. M. ὑπὲρ.

E vi ſta malinconica , e paſſando
De l'Ore al prato, in rugiadoſo campo
Dimora , o per lavar nel patrio fiume
Il corpo , in riva de l'Eurota alberga .
Ma piena di dolor così riſpoſe
Lagrimando la povera fanciulla .
Ella pur troppo ſa la via del monte ,
E ſa il corſo de' fiumi , e ſa le ſtrade
Al roſajo , ed al prato . Oh che mi dite,
Donne ? Già cadon gli aſtri , e pur tra ſcoglj
Ella ancor dorme ; ſorgon gli aſtri intanto ,
Ed ella ancor non torna . O Madre mia ,
Che luogo hai tu ? Sovra qual monte hai ſtanza?
T' han forſe uccisa , mentre eri perduta ,
Le fiere ? Ah no , poichè le fiere ſteſſe
Temon la ſtirpe de l'illuſtre Giove .
Sei tu caduta giù da' monti al piano
Laſciando il corpo tuo fra le deſerte
Selve ? ma ſcorſo ho de' fronzuti boſchi
Le ombroſe piante , fino a' rami ſteſſi ,
Nè 'l tuo corpo incontrai : No, non adunque
Accuſiamo la ſelva . Il piacer forſe
Di gir nuotando , te ſommerſa aſcoſe
Nel ſacro fiume del fecondo Eurota ?
Ma dentro i fiumi ancora , e nel profondo
Del mar vivon le Najadi , nè mai
Si ſente , ch' eſſe uccidano le Donne .
Così piangeva , ma chinando il collo
Preſe a dormir , giacchè compagno il ſonno
E' del morire ; e ſe comun tra loro
Hanno ogni coſa , egli è ben forza ancora ,

C'e

Ἔργα παλαιοτέροιο κασιγνήτοιο διώκειν;
Ἔνθεν ἀκηχεμένοισι βαρυνόμεναι βλεφάροισι 360
Πολλάκις ὑπνώουσιν ὅτε κλαίουσι γυναῖκες.
Ἡ μὲν ἀλητεύουσα δαϊφροσύνῃσιν ὀνείρων,
Μητέρα παπταίνειν ὠΐσατο· τοῖα δὲ κούρη
Γαχε θαμβήσασα, καὶ ἀχνυμένη περ ἐοῦσα.

Χθιζὸν ὀδυρομένην με δόμων ἔκτοθι φυγοῦσα, 365
Κάλλιπες ὑπνώουσαν ὑπὲρ λεχέων γενετῆρος.
Ποῖον ὄρος προλέλοιπα; τίνας μεθέπω κολώνας;
Οὕτω καλλικόμοιο μεθ' ἁρμονίην Ἀφροδίτης;

Τοῖα δὲ φωνήσασα προσέννεπε Τυνδαρεώνη,
Τέκνον ἀκηχεμένη, μὴ μέμφεο τοῖα παθοῦσαν· 370
Ὅ χθιζός με μολὼν ἀπατήλιος ἥρπασεν ἀνήρ.

Ἔννεπεν. ἡ δ' ἀνόρουσε· καὶ οὐχ ὁρόωσα τιθήνην,
Ὀξυτέρη πολὺ μᾶλλον ἀνεβρυχήσατο φωνῇ,
Ἠερίης ὄρνιθες ἐύπτερα τέκνα γενέθλης,
Ἔλθετε νοστήσαντες ἐπὶ Κρήτην Μενελάῳ, 375
Χθιζὸν ἐπὶ Σπάρτην τις ἀνὴρ ἀθεμίστιος ἐλθὼν,
Ἀγλαΐην σύμπασαν ἐμῶν ἀλάπαξε μελάθρων,

Ὣς ἡ μὲν πολύδακρυς ἐς ἠέρα φωνήσασα,
Μητέρα μαστεύουσα μάτην ἐπλάζετο κούρη.

Καὶ

V. 372. ὁρόωσα. M. ὁρόουσα.

Che l'opre ſteſſe amminiſtrando il ſonno
Del ſuo maggior Fratel, morti ne renda
Anche al dolore. Onde le meſte avendo
Palpebre ſpeſſo cariche di ſonno
Dormono allor che piangono le Donne.
Così a la ſteſſa Ermione ingannata
Da l'induſtria de' ſogni, allor parea
La Madre di mirar. Perciò ſtordita
Così parlò, non ben placata in tutto.
Jeri fuggita ſei fuor de le ſtanze
Da me, che or piango, e abbandonata m'hai;
Mentre dormiva entro i paterni letti.
Deh qual monte io laſciai, che non cercaſſi,
Ovver quai colli? Così dunque andavi
Fra i legami di Venere leggiadra?
Riſpoſe a lei di Tindaro la Prole:
Non mi ſgridar, benchè dolente ſei,
O Figlia mia, perchè tai coſe io ſoffra.
Oh Dio! quell'uomo ingannator, che ieri
Quà venne, mi rapì. Tanto riſpoſe,
E la Figlia levoſſi, e non vedendo
La Madre, alzò più acuta voce, e diſſe:
O voi uccelli de l'aerea ſtirpe
Alati figlj, a Menelao narrate
Tornando in Creta, che venuto ieri
A Sparta un traditor, de le mie Caſe
Tutto, oimè! lo ſplendor ſeco portoſſi.
Così con molte lagrime la Figlia,
Gittando a l'aria le querele, e i detti,
Cercava in van la Genitrice amata.

Per

Καὶ Κικόνων πτολίεθρα καὶ Αἰολίδος πόρον Ἕλλης 380
Δαρδανίοις λιμένεσσιν ὁ νυμφίος ἤγαγε νύμφην.
Πυκνὰ δ' ἔτιλλε κόμην, χρυσέην δ' ἔρ'ριψε καλύπτρην
Κασσάνδρη νεόφυτον ἀπ' ἀκροπόληος ἰδοῦσα.
Τροίη δ' ὑψιδόμων πόλεων κληῖδας ἀνεῖσα,
Δέξατο νοστήσαντα τὸν ἀρχέκακον πολιήτην. 385

---

v.381. Δαρδανίοις. M. Δαρδανίην.
v.383. νεόφυτον. M. νεόφοιτον,
ἀπ'. M. ἐπ'.
v.384. πόλεων. M. πύλεων.

Per le Città de la Ciconia ir anto ,
E per lo paſſo de l'Eolica Elle
Menò l'amante la novella Spoſa
Fino a' porti di Dardano . Ma ſpeſſo
Strappavaſi la chioma , e il velo d'oro ,
Che avea ſul capo , al ſuol gittò Caſſandra ,
Allor che rimirò da l'alta rocca
La nuova Donna . Ma le chiuſe intanto
Alte ſue porte ſpalancando Troja ,
Paride , che tornò , con feſta accolſe ,
Il Cittadin , che d'ogni mal fu autore .

Die 12. Septembris 1749.

IMPRIMATUR.

Fr. Jo. Baptista Wahemans Ord. Præd. S.Th. Mag. Commissarius S. Officii Mediolani.

Franciscus Curionus Archipresbyter S. Eusebii pro Eminentiss. ac Reverendiss. D. D. Card. Archiep.

Vidit Julius Cæsar Bersanus pro Excell. Senatu.

IN MILANO, MDCCXLIX.

NELLA REGIA-DUCAL CORTE.
Con licenza de' Superiori.